Εὐσταθίου:
Ἀρχιεπ. Θεσ/νίκης
Σχόλια Ὀδυσσείας
Τ. 518

# ΤΗΡΕΥΣ.

Πανδίονος Ἀττικοῦ τυράννου γίνεται Πρόκνη καὶ Φιλομήλα.

τούτων ἡ Φιλομήλα γαμεῖται Τηρεῖ τῷ Θρᾳκί, καὶ γίνεται τῷ μετοικισμῷ ἐξ Ἀττικῆς γυναικὸς Θρᾳκική.

μέλλοντα δέ ποτε Ἀθήναζε τὸν Τηρέα ἥκειν, ἱκέτευεν ἡ γυνὴ τὴν ἀδελφὴν Πρόκνην αὐτῷ ἐπανιόντι συνεκδημήσασθαι.

ὁ δὲ ποιεῖ μὲν τοῦτο, περὶ δὲ τὴν ὁδὸν βιάζεται τὴν κόρην, καὶ φθάσας ἐκγλωσσοτομεῖ, ὡς ἂν μὴ ἔχοι τῇ ἀδελφῇ ἐκλαλῆσαι τὸ πάθος.

ἀλλ' ἡ Πρόκνη δι' ὑφῆς ἐμφαίνει τὴν βίαν, ἐπεὶ μὴ εἶχε τῇ γλώττῃ, ἐμφαίνει τῇ χειρί.

καὶ ἡ Φιλομήλα τὴν τῆς ἀδελφῆς γλῶτταν [illegible] τοῦ παιδός, καὶ ἀνελοῦσα τὸν υἱὸν Ἴτυν παραβάλλει τῷ ἀνδρὶ φαγεῖν. ὁ δὲ παθὼν τὴν βρῶσιν, ἀλλ' ὕστερον γνωρίζει τὸν παῖδα λειψάνου μικροῦ τεκμηράμενος, καὶ διώκει τὰς ἀδελφὰς τῷ παιδὶ συγκαταθύσων αὐτάς.

αἱ δὲ φεύγουσι, καὶ θεοὺς κρείττονας αἰτησάμεναι πτερύσσονται εἰς χελιδόνα μὲν ἡ Φιλομήλα, Πρόκνη δὲ εἰς ἀηδόνα.

διὸ τραχύφωνος μὲν ἐστιν ἡ χελιδὼν καὶ ἀηδὴς τὸ μέλος, οἷα κολουσθεῖσα τῆς γλώττης, καὶ συχνὰ τὸν Τηρέα ὑποτραυλίζουσα κατὰ στόμα προφέρει, ἀηδὼν δὲ τὸν Ἴτυν τοῦ μέλους προβάλλεται.

(ἀκολουθεῖ)

2/

Τηρεὺς δ' εἰς ἔποπα μορφωθεὶς ποῦ ἄρα εἰσίν ἀναφωνεῖ συχνά.

C. Julii Hygini:
Augusti Liberti
Fabularum Liber

XLV. Philomela.

Tereus Martis filius Thrax, cum Procnen Pandionis filiam in conjugium haberet, Athenas ad Pandionem ~~soceum~~ socerum venit rogatum, ut Philomelam alteram filiam sibi in conjugium daret: Procnen suum diem obisse dicit. Pandion ei veniam dedid, Philomelamque et custodes cum ea misit: quos Tereus in mare jecit Philomelamque invitam in monte compressit. Postquam autem in Thraciam redit, Philomelam mandat ad Lynceum regem, cujus uxor Laethusa, quod Procnae fuit familiaris, statim pellicem ad eam deduxit. Procne cognita sorore, et Terei impium facinus, pari consilio machinari coeperunt regi talem gratiam referre. Interim Tereo ostendebatur in prodigiis Ity filio ejus mortem a propinqua manu adesse: quo responso audito cum arbitraretur Dryantem fratrem suum filio suo mortem machinari, fratrem Dryantem insontem occidit, ~~patrique~~ Procne autem filium Itym, ex se et Tereo natum, occidit, patrique in epulis apposuit, et cum sorore profugit. Tereus, facinore cognito, fugientes cum insequeretur deorum misericordia factum est, ut Procne in hirundinem commutaretur, Philomela in lusciniam: Tereum autem accipitrem factum dicunt.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ